www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ ΤΩΝ ΕΝ ΝΙΚΟΜΗΔΕΙΑ ΑΓΙΩΝ ΚΑΙ ΕΝΔΟΞΩΝ ΤΟΥ ΧΡΙΣΤΟΥ ΔΙΣΜΥΡΙΩΝ ΜΑΡΤΥΡΩΝ, ΕΝ ΟΙΣ ΚΑΙ Ο ΑΓΙΟΣ ΜΥΓΔΟΝΙΟΣ

*(ὧν ἡ μνήμη τῇ 28ῃ Δεκεμβρίου)*



Ἐποιήθη
ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵βη' * 2008 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



## ΤΗι ΚΗ΄ ΤΟΥ ΜΗΝΟΣ ΔΕΚΕΜΒΡΙΟΥ, ΜΝΗΜΗ ΤΩΝ ΕΝ ΝΙΚΟΜΗΔΕΙΑ ΑΓΙΩΝ ΔΙΣΜΥΡΙΩΝ ΜΑΡΤΥΡΩΝ ΕΝ ΟΙΣ ΚΑΙ Ο ΑΓΙΟΣ ΜΥΓΔΟΝΙΟΣ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

*Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν γ΄ στιχηρὰ προσόμοια τῆς Ἑορτῆς.*

*Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Φέρεις ἀδαμιαίαν μορφήν,
ἐν μορφῇ Θεοῦ ὑπάρχων παντέλειος·
καὶ θέλεις χερσὶ κρατεῖσθαι,
ὁ τῇ χειρὶ τοῦ παντός,
περιδεδραγμένος δυναστείᾳ σου·
Ἁγνὴ ἡ πανάμωμος,
προσεφθέγγετο λέγουσα·
Πῶς σε σπαργάνοις,
ἐνειλήσω ὡς νήπιον;
πῶς θηλάσω σε, τὸν τὰ σύμπαντα τρέφοντα;
πῶς μὴ τὴν ὑπὲρ ἔννοιαν,
πτωχείαν θαυμάσω σου;
πῶς σε Υἱόν μου καλέσω,
δούλη σου νῦν χρηματίζουσα;
ὑμνῶ εὐλογῶ σε,
τὸν παρέχοντα τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

Βρέφος σωματωθὲν ἐξ αὐτῆς,
τὸν προαιώνιον Θεὸν ἡ Πανάμωμος,
ὁρῶσα, χερσὶ κρατοῦσα,
καταφιλοῦσα πυκνῶς,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ χαρᾶς πλησθεῖσα, προσεφθέγγετο,
αὐτῷ· Θεὲ ὕψιστε,
Βασιλεῦ ἀθεώρητε,
πῶς καθορῶ σε, καὶ νοεῖν τὸ μυστήριον,
οὐ δεδύνημαι, τῆς ἀμετρου πτωχείας σου;
Σπήλαιον γὰρ σμικρότατον,
καὶ τοῦτο ἀλλότριον,
ἔνδον χωρεῖ σε τεχθέντα,
καὶ Παρθενίαν μὴ λύσαντα,
νηδὺν συντηροῦντα,
ὡς πρὸ τόκου καὶ διδόντα,
τὸ μέγα ἔλεος.

Ταῦτα ἱκετικῶς ἡ Σεμνή,
θαμβητικῶς τε φθεγγομένη ἀκήκοε,
τῶν Μάγων πρὸ τοῦ Σπηλαίου,
παρισταμένη ὁμοῦ,
καὶ πρὸς τούτους ἔφη· Τίνα θέλετε;
ὑμεῖς ὡς ὁρῶ γάρ,
ἀλλοδαπῆς χώρας ἤλθετε,
Περσῶν τὸ σχῆμα,
οὐ τὸ φρόνημα ἔχοντες,
ξένην ἄφιξιν, καὶ πορείαν πεποίησθε·
καὶ πρὸς τὸν ξενιτεύσαντα,
ἐξ ὕψους καὶ ξένως μοι,
ἐνοικισθέντα ὡς οἶδε,
μετὰ σπουδῆς παρεγένεσθε,
αὐτὸν προσκυνῆσαι,
τὸν δωρούμενον τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

*ἕτερα στιχηρὰ προσόμοια τῶν Ἁγίων. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.*

Δισμύριοι Μάρτυρες Χριστοῦ,
τοῦ Θεοῦ τῇ χάριτι,
συναθροισθέντες ἐν Πνεύματι,
δῆμος μακάριος,

φωταυγεῖς ἀστέρες,
πλάνης νύκτα λύσαντες,
πρὸς ἄδυτον αὐγὴν μετετέθητε,
καὶ νῦν πρεσβεύσατε,
δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν,
τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πληθὺς πολυάριθμος πυρί,
ἤδη ὠλοκαύτωται,
καὶ εὐωδίας ἐπλήρωσε,
τὰ ἐπουράνια·
καὶ τῶν πρωτοτόκων,
ἐκλεκτὴν ὁμήγυριν,
ἐφαίδρυνε· χαρᾶς τε ἐπλήρωσε,
νῦν τὰ ἐπίγεια,
καὶ πρεσβεύει τοῦ σωθῆναι ἡμᾶς,
τοὺς τελοῦντας, τὴν ἔνδοξον μνήμην αὐτῶν.
Παρθένοι νεάνιδες τῶν σῶν,
μύρων ὀσφραινόμεναι,
σοῖς ἠκολούθησαν ἴχνεσι,
τὸ σὸν μιμούμεναι,
ζωηφόρον πάθος, τὸ ψυχοσωτήριον,
καὶ πρὸς τὴν ἐκ νεκρῶν ἐξανάστασιν,
ἐν σοὶ γηθόμεναι,
Εὐεργέτα, κατῳκίσθησαν,
τοῦ σοῦ κάλλους, σαφῶς ἀπολαύουσαι.

*Δόξα. Ἦχος δ'.*

Τὸ ἄϋλον πῦρ τοῦ Ἁγίου Πνεύματος, ἐν ταῖς καρδίαις δεξάμενοι,
μακάριοι Δισμύριοι Μάρτυρες,
οὐκ ἐλογίσασθε εἰς οὐδέν, τὸ κατακαῦσαν ὑμᾶς πῦρ τὸ ἔνυλον.
Ἀλλὰ τὸν ὕμνον τῶν ἐν Βαβυλῶνι Παίδων ψάλλοντες,
εἰς τὴν Βασιλείαν τοῦ Θεοῦ ἐν χαρᾷ πάντες μετηνέχθητε,
ἔνθα ἀπολαύοντες τῶν ἐπηγγελμένων ἀγαθῶν,
πρεσβεύετε ἀδιαλείπτως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Καὶ νῦν, ὁ αὐτός.*

Σπηλαίῳ παρῴκησας, Χριστὲ ὁ Θεός,
φάτνη ὑπεδέξατο,
Ποιμένες καὶ Μάγοι προσεκύνησαν.
Τότε δὴ τῶν Προφητῶν ἐπληροῦτο τὸ κήρυγμα,
καὶ Ἀγγέλων αἱ δυνάμεις ἐθαύμαζον καὶ ἐβόων λέγουσαι·
Δόξα τῇ συγκαταβάσει σου,
μόνε Φιλάνθρωπε.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Τὰ ἀναγνώσματα*

*Προφητείαις Ἠσαΐου τὸ Ἀνάγνωσμα.*
*(Κεφ. 43, 9-14)*

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ Πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγὼ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ΄ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ΄ ἀρχῆς ἐγὼ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*
*(Κεφ. 3, 1-9)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι. Καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς

ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.*
*(Κεφ. 5, 15-23 & 6, 1-3)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαῖαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ΄ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

*Ψάλλομεν στιχηρὰ ἰδιόμελα*
*Ἦχος α΄.*

Τὴν τοῦ Δεσπότου κατὰ σάρκα Γέννησιν ἑορτάζοντες,
συντιμῶμεν πανευφροσύνως καὶ τὴν μνήμην,
τῶν πυρὶ παραδοθέντων Δισμυρίων Μαρτύρων.
Οἵτινες μηδὲν γήϊνον φρονήσαντες,
τὴν εἰδωλικὴν λατρείαν κατεφρόνησαν
καὶ ὁμοθυμαδὸν ὑποστάντες τὸν διὰ φλογὸς ὑπὲρ Χριστοῦ θάνατον,
πρεσβεύουσιν ἀδιαλείπτως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β΄.*

Τὴν τῶν ἀψύχων εἰδώλων προσκύνησιν ἀρνηθέντες,
τῷ τῆς ἀληθινῆς ζωῆς χορηγῷ ἐθυσιάσθητε,
Δισμύριοι Μάρτυρες.
Αὐτῷ γὰρ ὡς πανεύοσμον λίβανον
ὑμᾶς αὐτοὺς προσενεγκόντες,
νῦν ἀπολαύετε τῶν ἀγαθῶν τοῦ Παραδείσου,
καὶ πρεσβεύετε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Ἦχος γ΄.*

Μίαν ἔχοντες τὴν πίστιν, ἀθλοφόροι Μάρτυρες,
ἕνα καὶ τὸν θάνατον, ἐκ συμφώνου ὑπέστητε.
Πυρὶ γὰρ τῷ ἐνύλῳ τὸ ἄϋλον πῦρ τῆς φιλοθεΐας ἀντιθέντες,
μᾶλλον ᾑρετίσασθε κατακαῆναι,
ἢ τῆς θεοπαραδότου εὐσεβείας προδότας γενήσεσθαι.
Διὸ ὡς ὑποδείγματα εὐαγγελικῆς συνεπείας ὑμᾶς ἔχοντες,
αἰτούμεθα πρεσβεύειν ὑπὲρ ἡμῶν τῷ ἀθλοθέτῃ Δεσπότῃ.

*Ἦχος δ΄.*

Δυσὶν κυρίοις ἀδύνατον δουλεύειν,
ἡ τοῦ Δεσπότου ἀπεφήνατο φωνή.

Ὅθεν καὶ ὑμεῖς, Δισμύροι ἀθλοφόροι,
τὴν τοῦ τεχθέντος ἐν σπηλαίῳ Θεανθρώπου προτιμήσαντες λατρείαν,
ὡς ὁλοκαυτώματα ἅπαντες προσηνέχθητε,
ἐν τῇ ἡμέρᾳ τῆς Αὐτοῦ ἐνδόξου Γεννήσεως.
Ἔχοντες οὖν παῤῥησίαν, φιλάδελφοι,
Χριστῷ ὑπὲρ ἡμῶν πρεσβεύσατε,
τηρῆσαι ἐν ἀκριβείᾳ τὸ τῶν Χριστιανῶν ἀξίωμα.

*Δόξα. Ἦχος πλ.α΄.*

Τοῦ ἀγαθοῦ ἡμῶν Διδασκάλου Χριστοῦ εἰπόντος,
ὅτι ἦλθε βαλεῖν ἐπὶ γῆς τὸ πῦρ τῆς ἀγάπης Αὐτοῦ,
ὑμεῖς σύμψυχοι φανέντες, Ἅγιοι Δισμύριοι,
διὰ πυρὸς ὀδυνηροῦ ἐν ὑμνῳδίαις δοξολογίας κατεκάητε.
Οἱ δὲ ὑπολειφθέντες τῆς τοιαύτης θυσίας,
ἑτέροις τρόποις τὴν πρὸς Χριστὸν πίστιν μαρτυρικῶς ἐπεσφράγισαν.
Ὅθεν, ἐν τῷ ἐπουρανίῳ καὶ ἀφθάρτῳ ναῷ πάντες συμπαριστάμενοι,
πρεσβεύσατε τῷ ὑπὲρ ἡμῶν σαρκωθέντι Ἐσφαγμένῳ Ἀμνῷ ,
σωθῆναι τοὺς ἐν ὕμνοις τιμῶντας τὴν μνήμην ὑμῶν.

*Καὶ νῦν. Ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.*

Μάγοι Περσῶν Βασιλεῖς, ἐπιγνόντες σαφῶς,
τὸν ἐπὶ γῆς τεχθέντα, Βασιλέα οὐράνιον,
ὑπὸ λαμπροῦ ἀστέρος ἑλκόμενοι,
ἔφθασαν ἐν Βηθλεέμ,
δῶρα προσφέροντες ἔγκριτα,
χρυσὸν καὶ λίβανον καὶ σμύρναν,
καὶ πεσόντες προσεκύνησαν·
εἶδον γὰρ ἐν τῷ Σπηλαίῳ,
βρέφος κείμενον τὸν Ἄχρονον.

**ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ**

*Στιχηρὰ προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Ὅτε τοῦ Κυρίου τὴν σεπτήν,
Γέννησιν ὁμοῦ ἐτιμᾶτε,
τῆς Νικομήδους πιστοί,
τότε οἱ λατρεύοντες,
κωφοῖς εἰδώλοις πυράν,
ὑλικὴν προσανάψαντες,
ἀπῄτουν θυσίαν,
καὶ Χριστοῦ τὴν ἄρνησιν,
πρὸ τοῦ ναοῦ τὸν βωμόν,
στήσαντες καὶ λέγοντες ὅτι,
εἰ μὴ ὑπακούσετε πάντες,
πάραυτα ὁμοῦ κατακαυθήσεσθε.

*Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Ἄνθιμος ὁ πάνσοφος ποιμήν,
τοὺς κατηχουμένους βαπτίσας,
πάντας προέτρεψεν,
μηδαμῶς τῆς πίστεως καὶ τῆς ἀγάπης Χριστοῦ,
παρεκκλίναι τὸ σύνολον,
καὶ δι᾽ Ἀγαπίου,
ὕμνον τὸν παγκόσμιον,
ψάλλειν ἐνήρξασθε.
Ὅθεν ὡς ἀμνοὶ ἑκουσίως,
τῇ πυρᾷ ἐκάητε στέφος,
ἐκ Χριστοῦ λαβόντες θεῖοι Μάρτυρες.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

Χαίρετε Κυρίου ἀθληταί,
τῆς Νικομηδείας τὸ κλέος,
ἅγιε Ἄνθιμε,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἴνδη καὶ Γλυκέριε, Δόμνα, Ἀγάπιε,
Θεοφίλη, Μυγδόνιε,
Θεόφιλε, Πέτρε
Ζήνων καὶ Γοργόνιε,
σεμνὲ Δωρόθεε,
χαίροις ὦ Μαρδόνιε θεῖε,
χαίρετε υἱοὶ Βασιλείας,
τοῦ Χριστοῦ οἱ Ἅγιοι Δισμύριοι.

*Δόξα. Ἦχος β΄.*

Οὐδὲν γλυκύτερον τοῦ πάσχειν ὑπὲρ Χριστοῦ!
Οὐδὲν τιμιώτερον! οὐδὲν ἀσφαλέστερον!
Τοῦτο πάντες καλῶς εἰδότες,
οἱ τῆς Νικομηδείας θεόψυχοι Μάρτυρες,
σκύβαλα πάντα θεωρήσαντες τὰ ἡδέα τοῦ κόσμου,
συνεσταυρώθησαν τῷ νεοτεχθέντι Ἐμμανουήλ,
καὶ μαρτυρίοις ποικίλοις θανατωθέντες,
εὕραντο ζωὴν τὴν ποθητὴν καὶ αἰώνιον,
πρεσβεύοντες ἀδιαλείπτως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.*

Σήμερον ὁ Χριστός, ἐν Βηθλεὲμ γεννᾶται ἐκ Παρθένου.
Σήμερον ὁ ἄναρχος ἄρχεται, καὶ ὁ Λόγος σαρκοῦται.
Αἱ δυνάμεις τῶν οὐρανῶν ἀγάλλονται,
καὶ ἡ γῆ σὺν τοῖς ἀνθρώποις εὐφραίνεται·
οἱ Μάγοι τὰ δῶρα προσφέρουσιν·
οἱ Ποιμένες τὸ θαῦμα κηρύττουσιν·
ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν·
Δόξα ἐν ὑψίστοις Θεῷ,
καὶ ἐπὶ γῆς εἰρήνη,
ἐν ἀνθρώποις εὐδοκία.

*Νῦν ἀπολύεις, Τρισάγιον. Ὅτι σοῦ ἐστιν.*
*Ἀπολυτίκια*



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Τῶν Δισμυρίων Μαρτύρων. Ἦχος γ'. Θείας πίστεως.*

Θεῖον στράτευμα,
πόλις ἁγία,
περιούσιος λαὸς Κυρίου,
ἀνεδείχθητε, Δισμύριοι Μάρτυρες·
τῇ γὰρ ἀγάπῃ αὐτοῦ δροσιζόμενοι,
διὰ πυρὸς τὸν ἀγῶνα ἠνύσατε.
Ἀλλ’ αἰτήσασθε,
ἐλέους, σοφοί, τὸν Πρύτανιν,
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Τοῦ Μάρτυρος. Ἦχος α' . Τῆς ἐρήμου πολίτης.*

Τοῦ Χριστοῦ τῇ ἀγάπῃ πυρωθείς, ὦ Μυγδόνιε,
ἤθλησας σὺν τοῖς Δισμυρίοις,
μυκτηρίσας τὰ εἴδωλα·
τῷ βόθρῳ ἐγχωσθεὶς ὡς ζῶν νεκρός,
μαρτύρων ἐνεδύθης τὴν στολήν.
Ὅθεν πόθῳ σου γεραίροντες τὴν σεπτήν,
πανήγυριν κραυγάζομεν·
δόξα τῷ σὲ καλέσαντι Χριστῷ,
δόξα τῷ σὲ στεφανώσαντι,
δόξα τῷ χορηγήσαντι ἡμῖν,
σὲ πρέσβυν ἀκαταίσχυντον.

*καὶ τῆς ἑορτῆς. Ἦχος δ΄.*

Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν,
ἀνέτειλε τῷ κόσμῳ, τὸ φῶς τὸ τῆς γνώσεως·
ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες,
ὑπὸ ἀστέρος ἐδιδάσκοντο,
σὲ προσκυνεῖν,
τὸν Ἥλιον τῆς δικαιοσύνης,
καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν.
Κύριε δόξα σοι.

*καὶ Ἀπόλυσις*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετὰ τὴν α΄ στιχολογίαν. Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου, Σωτήρ.*

Στρατὸς θεοπρεπής,
Δισμυρίων Μαρτύρων,
τὸ πῦρ τὸ ὑλικόν,
μηδαμῶς δειλιάσας,
σεμνὸν ὁλοκαύτωμα,
τῷ Χριστῷ προσενήνεκται,
καὶ ἐπλήρωσε πανευωδίας τὸν κόσμον,
τὴν πρὸς Κύριον,
πιστοῖς διδάσκων ἀγάπην,
δι’ ἣν τεθανάτωται.

*Δόξα. Τοῦ Μάρτυρος, ὅμοιον.*

Τιμὴν συγκλητικοῦ,
ἀποῤῥίψας ἐνθέως,
Μυγδόνιε σοφέ,
ἐκ Θεοῦ ἐτιμήθης,
Σταυροῦ τὸ μυστήριον,
ἀγαπήσας, χριστόψυχε·
ὅθεν εἴληφας,
πολλῶν βασάνων τὴν πεῖραν,
καὶ εἰς βόθυνον,
ζῶν συγχωσθεὶς θείῳ στέφει,
δικαίως κατέστεψαι.

*Καὶ νῦν. Τῆς ἑορτῆς, ὅμοιον*

Χορὸς τῶν προφητῶν,
ἑορτάζει ἐνθέως,
τὸ θαῦμα τὸ ἐν σοί, γεγονός, Παναγία·

Θεὸν σεσαρκωμένον γάρ,
ἐπὶ γῆς ἀπεκύησας,
Μάγοι πίστει δέ,
σὺν Ἰωσὴφ ἐκβοῶσι·
Δόξα Κύριε,
σῇ φιλανθρώπῳ ἀγάπῃ,
δι᾽ ἧς κόσμον ἔσωσας.

*Μετὰ τὴν β᾽ στιχολογίαν. Κάθισμα. Ἦχος γ᾽.Τὴν ὡραιότητα.*

Τὸν ὡραιότατον Χριστὸν ποθήσαντες,
ὡς ἐθελόθυτα, πρόβατα, ἅγιοι,
πρὸς τὸ μαρτύριον ὁμοῦ, Δισμύριοι, ἐτρέξατε,
καὶ καταφρονήσαντες, τὰ ἡδέα καὶ πρόσκαιρα,
ὡς ὁλοκαυτώματα, λογικὰ προσηνέχθητε,
αἰνοῦντες ἐν χαρᾷ τὸν Δεσπότην,
τὸν δι᾽ ἡμᾶς ἐνανθρωπήσαντα.

*Δόξα. Τοῦ Μάρτυρος, ὅμοιον.*

Ὡς νουνεχέστατος, μάρτυς Μυγδόνιε,
τιμὴν τὴν πρόσκαιρον καὶ δόξαν ἅπασαν,
εὐθὺς ἠρνήθης ἐκ ψυχῆς, τὸν θάνατον ἑλόμενος,
καὶ κατεμυκτήρησας,
τῶν εἰδώλων προσκύνησιν,
ὅθεν μαστιγούμενος,
ὑπομένων ἐκραύγαζες·
χαρὰ ἐμοὶ ὑπάρχει τὸ πάθος τοῦτο,
δι᾽ οὗ Χριστῷ συναντηθήσομαι.

*Καὶ νῦν. Τῆς ἑορτῆς, ὅμοιον.*

Θαῦμα παράδοξον γέγονε σήμερον,
ὁ γὰρ Σωτὴρ ἡμῶν ἐν τῷ σπηλαίῳ σαρκί,
ὤφθη ἐκ Παρθένου δι᾽ ἡμᾶς,
καθὼς αὐτὸς ἐπίσταται,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μάγοι μετὰ δώρων δὲ ὡς βασιλεῖ προσεκύνησαν,
Ποιμένες μετ' ἀγγέλων τε τρανῶς ἐδοξολόγουν Αὐτόν.
Μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν·
δόξα τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι.

*Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.*

Ὥσπερ Μάγοι οἱ σοφοί,
τρίϋλον δῶρον τῷ Χριστῷ,
ἐν τῇ φάτνῃ Βηθλεέμ,
προσενηνόχασι ποτέ,
ὑμεῖς, Δισμύριοι μάρτυρες Νικομηδείας,
καέντες ἐν ναῷ,
θύματα τέλεια Αὐτῷ,
ἐδείχθητε χορόν,
στήσαντες πόθῳ θεϊκῷ,
καὶ ἐπετύχετε πάντες τῆς Βασιλείας,
ἧς κληρονόμους ἀξίους,
δείξατε ὅσοι,
μνήμην ὑμῶν τιμῶσι σήμερον.

*Δόξα. Τοῦ Μάρτυρος, ὅμοιον.*

Τὸ τεθνάναι ἐν Χριστῷ,
ζωὴν τὴν ὄντως θεωρῶν,
ἀφιέρωσας Αὐτῷ,
πᾶσαν, Μυγδόνιε, ζωήν,
γενναιοφρόνως χωρήσας πρὸς ἀγῶνας·
διὸ μαστιγωθείς,
καὶ ζῶν τῷ βόθρῳ ἐμβληθείς,
ἐτέλεσας καλῶς,
δρόμον ὡς Παῦλος σημειοῖ,
καὶ νῦν τῆς θέας Κυρίου ἀπολαύων,
μηδέπω παύσῃ, μακάριε,
καθικετεύειν,
ὑπὲρ τῶν πίστει,

καὶ εὐφροσύνῃ γεραιρόντων σε.

*Καὶ νῦν. Τῆς ἑορτῆς ὅμοιον.*
Τί θαυμάζεις, Μαριάμ,
τί ἐκθαμβεῖσαι τῷ ἐν σοί;
Ὅτι ἄχρονον Υἱόν, χρόνῳ ἐγέννησα φησί,
τοῦ τικτομένου τὴν σύλληψιν μὴ διδαχθεῖσα.
Ἄνανδρός εἰμι, καὶ πῶς τέξω Υἱόν;
ἄσπορον γονὴν τίς ἑώρακεν;
ὅπου Θεὸς δὲ βούλεται, νικᾶται,
φύσεως τάξις, ὡς γέγραπται.
Χριστὸς ἐτέχθη,
ἐκ τῆς Παρθένου,
ἐν Βηθλεὲμ τῆς Ἰουδαίας.

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου. Ἐκ νεότητός μου.
Προκείμενον. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται..
Στίχος. *Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.*
Εὐαγγέλιον. Τὸ μαρτυρικόν, τοῦ Ὄρθρου τοῦ ἁγίου Γεωργίου.
Ὁ Ν'. Ἐλέησόν με ὁ Θεός...
Δόξα. Ταῖς τῶν σῶν Μαρτύρων.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Στίχ. *Ἐλέησόν με ὁ Θεός...Ἰδιόμελον. Ἦχος πλ.β'*

Τῷ δι᾽ ἡμᾶς φιλανθρώπως ἐνανθρωπήσαντι Δεσπότῃ,
ὑπὲρ Οὗ γενναίως ἐνηθλήσατε, ἅγιοι Δισμύριοι Μάρτυρες,
ἐκτενῶς ἱκετεύσατε, ὅπως εὕρωμεν ἔλεος,
οἱ πίστει ἑορτάζοντες σήμερον, τὴν χαρμόσυνον ὑμῶν ἄθλησιν.

*Καὶ οἱ Κανόνες. Ὁ παρὼν τῆς ἑορτῆς ποίημα τοῦ κυρίου Κοσμᾶ, φέρων ἀκροστιχίδα τήνδε·*
***"Χριστὸς βροτωθείς, ἦν ὅπερ Θεὸς μένῃ".***

*Ὠιδὴ α΄. Ἦχος α΄.*
Χριστὸς γεννᾶται, δοξάσατε.

Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε.
Χριστὸς ἐπὶ γῆς, ὑψώθητε.
Ἄισατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ,
καὶ ἐν εὐφροσύνῃ,
ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται.

Ῥεύσαντα ἐκ παραβάσεως,
Θεοῦ τὸν κατ' εἰκόνα γενόμενον,
ὅλον τῆς φθορᾶς ὑπάρξαντα,
κρείττονος ἐπταικότα θείας ζωῆς,
αὖθις ἀναπλάττει,
ὁ σοφὸς Δημιουργός, ὅτι δεδόξασται.

Ἰδὼν ὁ Κτίστης ὀλλύμενον,
τὸν ἄνθρωπον χερσίν, ὃν ἐποίησε,
κλίνας οὐρανοὺς κατέρχεται·
τοῦτον δὲ ἐκ Παρθένου θείας Ἁγνῆς,
ὅλον οὐσιοῦται,
ἀληθείᾳ σαρκωθείς, ὅτι δεδόξασται.

Σοφία λόγος καὶ δύναμις,
Υἱὸς ὢν τοῦ Πατρὸς καὶ ἀπαύγασμα.
Χριστὸς ὁ Θεὸς δυνάμεις λαθών,
ὅσας ὑπερκοσμίους, ὅσας ἐν γῇ,
καὶ ἐνανθρωπήσας,
ἀνεκτήσατο ἡμᾶς· ὅτι δεδόξασται.

*Εἶτα τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς·*
***"Πληθὺς με σῴζοις Καλλινίκων Μαρτύρων. Ἰωσήφ".***
*Ἦχος α΄. Ὠιδὴν ἐπινίκιον.*

Πληθὺς πολυάριθμε σεπτῶν Μαρτύρων,
τὰ πλήθη ἐξάλειψον,
τῶν πολλῶν πταισμάτων μου,
τῇ μεσιτείᾳ σου,
καὶ δίδου λόγον ἀνυμνεῖν τὴν σὴν πανήγυριν.

Λαμπτῆρες ὑπέρφωτοι τῆς Ἐκκλησίας,
καλλίνικοι Μάρτυρες,
τοῖς οἰκείοις μέλεσι,
Θεὸν δοξάσαντες,
τῇ φωτοφόρῳ νῦν ἡμῖν μνήμῃ δοξάζεσθε.

Ἡ πίστις ἡ ἔνθεος τῶν Ἀθλοφόρων,
ἀπίστων τὴν ἄθεον,
τυραννίδα ὤλεσε,
καὶ ἐξηφάνισε,
τὴν τῶν δαιμόνων πονηράν,
ἔνστασιν χάριτι.

Θεὸν παντοδύναμον, σάρκα λαβόντα,
καὶ θάνατον λύσαντα,
τῷ θανάτῳ, Μάρτυρες,
ὁμολογήσαντες,
ἐθανατώθητε ζωὴν λαβόντες ἄληκτον.

Θεοτοκίον

Ὑμνῶ σε, Πανύμνητε εὐλογημένη,
Θεὸν ὑπερύμνητον,
ἐν σαρκὶ κυήσασαν,
τὸν μεγαλύναντα,
τοὺς Ἀθλοφόρους,
καὶ τὸν ἐχθρὸν καταπαλαίσαντας.

*καὶ ὁ κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς:*
***"Εὔχου, ὦ Μυγδόνιε, μὴ καταποντισθείην. Ἀ(θανάσιος)".***
*Ἦχος πλ.δ΄. Ἁρματηλάτην φαραώ.*

Εἰδωλικὴν ἀποβαλὼν σκοτόμαιναν,
μάρτυς Μυγδόνιε,
τῷ ἐκ τῆς Παρθένου,
σαρκωθέντι ἔδραμες,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ ὥσπερ δῶρον τίμιον,
προσενέγκας σὸν αἷμα,
ἀθλητικὸν εἴληφας,
στέφανον τὸν μὴ μαραινόμενον.

Ὑλομανοῦσαν κατιδὼν ἀσέβειαν,
τὴν ἀνθρωπόλεθρον,
τῷ Χριστῷ προσῆλθες,
πάντιμε Μυγδόνιε,
ζωῆς πηγὴν ὑπάρχοντι,
καὶ πιὼν ζωῆς ὕδωρ,
κατεμεθύσθης τοῖς δόγμασι,
τοῖς Αὐτοῦ ἀφθόνως ἐκβλύζουσι.

Χορῷ συνήφθης τῷ σεπτῷ, Μυγδόνιε,
τῆς Νικομήδους πιστῶν,
τῷ ποιμαινομένῳ,
εἰς ζωὴν αἰώνιον,
ὑπὸ Κυρίλλου πρότερον,
εἶτα δὲ τοῦ Ἀνθίμου,
ἀνδρῶν πνεόντων τὸν Κύριον,
μᾶλλον ἢ ἀέρα τὸν πρόσκαιρον.

Θεοτοκίον

Ὁ οἰκουμένην διαπλάσας, Ἄχραντε,
ἐξ οὗ διέπλασται,
καὶ καθάπερ βρέφος,
ἐν Σπηλαίῳ τίκτεται,
ἀνάπλασιν τὴν κρείττονα,
τοῖς ἀνθρώποις παρέχων,
ἧς περ Ἀδὰμ εἰς παράδεισον,
πάλαι ὁ προπάτωρ ἀπέτυχε.

*Καταβασία. Χριστὸς γεννᾶται.*

*Ὠιδὴ γ΄.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τῷ πρὸ τῶν αἰώνων,
ἐκ Πατρὸς γεννηθέντι ἀῤῥεύστως Υἱῷ,
καὶ ἐπ᾽ ἐσχάτων ἐκ Παρθένου,
σαρκωθέντι ἀσπόρως,
Χριστῷ τῷ Θεῷ βοήσωμεν·
Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν,
ἅγιος εἶ Κύριε.

Ὁ τῆς ἐπιπνοίας,
μετασχὼν τῆς ἀμείνω Ἀδὰμ χοϊκός,
καὶ πρὸς φθορὰν κατολισθήσας,
γυναικείᾳ ἀπάτῃ,
Χριστὸν γυναικὸς βοᾷ ἐξορῶν·
Ὁ δι' ἐμὲ κατ ἐμὲ γεγονώς,
ἅγιος εἶ Κύριε.

Σύμμορφος πηλίνης,
εὐτελοῦς διαρτίας, Χριστέ, γεγονώς,
καὶ μετοχῇ σαρκὸς τῆς χείρω,
μεταδοὺς θείας φύτλης,
βροτὸς πεφυκὼς καὶ μείνας Θεός,
καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν,
ἅγιος εἶ Κύριε.

Βηθλεὲμ εὐφραίνου,
ἡγεμόνων Ἰούδα βασίλεια·
τὸν Ἰσραὴλ γὰρ ὁ ποιμαίνων,
Χερουβὶμ ὁ ἐπ᾽ ὤμων,
ἐκ σοῦ προελθὼν Χριστὸς ἐμφανῶς,
καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν,
πάντων ἐβασίλευσεν.

*Τῶν Μαρτύρων. Στερεωθήτω ἡ καρδία μου*

Ὡραιοτάτως ἐκπυρούμενοι,
τῇ Χριστοῦ ἀγάπῃ, πανεύφημοι,

ὑφαπτομένης τῆς πυρᾶς,
οὐδαμῶς ἐπτοήθητε·
ἀλλ' ἐν ταύτῃ τελειούμενοι,
ὑφ' ἓν ἐδοξάσθητε.

Ζώσῃ φωνῇ Θεὸν κηρύττοντες,
ἀπειλὰς ἀθέων οὐκ ἔπτηξαν·
ἀλλὰ τῶν Παίδων τὴν φωνήν,
ὁμοφρόνως ἐκραύγαζον,
οἱ πανεύφημοι ὁπλῖται,
τοῦ Χριστοῦ τελειούμενοι.

Οὐ δειλιῶμεν πῦρ ὁμόδουλον,
οἱ γενναῖοι ἅμα ἐκραύγαζον·
ἀγαλλομένῃ δὲ ψυχῇ,
διὰ σὲ θανατούμεθα,
τὸν θανόντα καὶ τὸν θάνατον,
Σωτήρ, καταργήσαντα.

Θεοτοκίον

Ἵνα θεώσῃ τὸ ἀνθρώπινον,
ὁ Θεὸς ἐγένετο ἄνθρωπος,
ἐκ σοῦ, Παρθένε, τῆς Ἁγνῆς,
ὑπὲρ λόγον καὶ ἔννοιαν·
διὰ τοῦτο σε συμφώνως,
οἱ πιστοὶ μακαρίζομεν.

*Τοῦ Μάρτυρος. Οὐρανίας ἁψῖδος.*

Ὑπερβὰς τοὺς ὑλώδεις περισπασμούς, Ἅγιε,
καὶ τῶν φαινομένων τὴν χρῆσιν,
Χριστὸν ἐζήτησας·
ὅθεν ὡς ἔλαφος διψητική τις ἐφάνης,
τρέχων πρὸς μαρτύριον,
τὸ πολυπόθητον.

Ὢ γενναίας ψυχῆς σου καὶ σταθερᾶς γνώσεως!
δι᾽ ὧν ἐξωπλίσθης πανσόφως,
μάρτυς Μυγδόνιε,
καὶ τὴν ἀπόφασιν,
τοῦ μαρτυρίου κρατήσας,
ὅλως ἀνεπίστροφον,
καλῶς ἐνήθλησας.

Μηδαμῶς ὑποκύψας τοῖς τοῦ ἐχθροῦ βέλεσιν,
ὅστις προσεπάθει ὑπούλως,
σὲ ἀποτρέψασθαι,
ἐκ τῆς ἀθλήσεως,
δι᾽ ἧς κατέβαλες τοῦτον,
καὶ τὸ στέφος εἴληφας,
θεῖε Μυγδόνιε.

Θεοτοκίον

Υἱὸν ἔτεκες Μῆτερ ἐν οὐρανοῖς ἄναρχον,
καὶ τοὺς οὐρανοὺς ἐν σοφίᾳ,
καλῶς ποιήσαντα,
Οὗπερ τὴν Γέννησιν,
τῶν χριστωνύμων τὰ πλήθη,
χαίροντες καὶ ᾄδοντες,
πανηγυρίζομεν.
*Καταβασία. Τῷ πρὸ τῶν αἰώνων.*

*Κοντάκιον. Ἦχος γ΄. Αὐτόμελον.*
*Ποίημα ἁγίου Ῥωμανοῦ τοῦ Μελῳδοῦ.*

Ἡ Παρθένος σήμερον, τὸν ὑπερούσιον τίκτει,
καὶ ἡ γῆ τὸ Σπήλαιον, τῷ ἀπροσίτω προσάγει.
Ἄγγελοι μετὰ Ποιμένων δοξολογοῦσι.
Μάγοι δὲ μετὰ ἀστέρος ὁδοιποροῦσι.
Δι᾽ ἡμᾶς γὰρ ἐγεννήθη,
Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Ὁ Οἶκος.**

Τὴν Ἐδὲμ Βηθλεὲμ ἤνοιξε, δεῦτε ἴδωμεν·
τὴν τρυφὴν ἐν κρυφῇ εὕρομεν·
δεῦτε λάβωμεν, τὰ τοῦ Παραδείσου ἔνδον τοῦ Σπηλαίου.
Ἐκεῖ ἐφάνη ῥίζα ἀπότιστος, βλαστάνουσα ἄφεσιν·
ἐκεῖ εὑρέθη φρέαρ ἀνώρυκτον, οὗ πιεῖν Δαυῒδ πρὶν ἐπεθύμησεν·
ἐκεῖ Παρθένος τεκοῦσα βρέφος,
τὴν δίψαν ἔπαυσεν εὐθύς, τὴν τοῦ Ἀδὰμ καὶ τοῦ Δαυῒδ·
διὰ τοῦτο πρὸς τοῦτο ἐπειχθῶμεν,
οὗ ἐτέχθη, Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

*Κάθισμα .Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Στρατὸς ἐν ἀριθμῷ, Δισμυρίων Μαρτύρων,
τιμώμενος ἡμῖν, ἀνατέλλει φωτίζων,
καρδίας καὶ νοήματα, εὐσεβῶν διὰ πίστεως·
ἐξαφθέντες γάρ, θείᾳ στοργῇ τοῦ Δεσπότου,
τέλος ἅγιον, διὰ πυρὸς οἱ γενναῖοι,
προθύμως ἐδέξαντο.

*Δόξα. Τοῦ ἁγίου Μυγδονίου, ὅμοιον.*

Χριστῷ τῷ Βασιλεῖ οὐρανόθεν ἐλθόντι,
ὡς δῶρον σεαυτὸν, προσενήνοχας, μάρτυς,
μιμούμενος τὴν ἄφατον, δι᾽ ἡμᾶς συγκατάβασιν·
ὅθεν πρότερον, καθυποστὰς μαστιγώσεις,
εἶτα τέθαψαι, ζῶν ἐν τῷ λάκκῳ καὶ ἦρας,
τὸ στέφος, Μυγδόνιε.

*Καὶ νῦν. Τῆς Ἑορτῆς, ὅμοιον.*

Ἐν φάτνῃ δι᾽ ἡμᾶς, τῶν ἀλόγων ἐτέθης,
μακρόθυμε Σωτήρ, νηπιάσας βουλήσει.
Ποιμένες δέ σε ὕμνησαν,
μετ᾽ ἀγγέλων κραυγάζοντες·

Δόξα αἴνεσις, τῷ ἐπὶ γῆς γεννηθέντι,
καὶ ὑψώσαντι, τῶν γηγενῶν τὴν οὐσίαν,
Χριστῷ τῷ Θεῷ ἡμῶν.

## Ὠιδὴ δ΄.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί,
καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ,
ἐκ τῆς Παρθένου ἀνεβλάστησας·
ἐξ ὄρους ὁ αἰνετὸς κατασκίου δασέος
ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου,
ὁ ἄϋλος καὶ Θεός·
Δόξα τῇ δυνάμει σου Κύριε.

Ὃν πάλαι προεῖπεν Ἰακώβ,
ἐθνῶν ἀπεκδοχὴν Χριστέ,
φυλῆς Ἰούδα ἐξανέτειλας,
καὶ δύναμιν Δαμασκοῦ,
Σαμαρείας σκῦλά τε,
ἦλθες προνομεύσων πλάνην τρέπων,
εἰς πίστιν θεοτερπῆ.
Δόξα τῇ δυνάμει σου Κύριε.

Τοῦ μάντεως πάλαι Βαλαάμ,
τῶν λόγων μυητὰς σοφούς,
ἀστεροσκόπους χαρᾶς ἔπλησας,
ἀστὴρ ἐκ τοῦ Ἰακώβ,
ἀνατείλας Δέσποτα,
Ἐθνῶν ἀπαρχὴν εἰσαγομένους,
ἐδέξω δὲ προφανῶς,
δῶρά σοι δεκτὰ προσκομίζοντας.

Ὡς πόκῳ γαστρὶ παρθενικῇ,
κατέβης ὑετὸς Χριστέ,
καὶ ὡς σταγόνες ἐν γῇ στάζουσαι·
Αἰθίοπες καὶ Θαρσεῖς, καὶ Ἀράβων νῆσοί τε,


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Σαβᾶ Μήδων, πάσης γῆς κρατοῦντες,
προσέπεσόν σοι Σωτήρ.
Δόξα τῇ δυνάμει σου Κύριε.

*Τῶν Μαρτύρων. Εἰσακήκοα Κύριε.*

Σοῦ τῷ πόθῳ προσέδησαν,
καρδίας Λόγε οἱ Ἀθλοφόροι·
διὰ σὲ δὲ θανατούμενοι,
ὡς ἀρνία ἄμωμα,
μιμηταὶ τοῦ πάθους σου ὤφθησαν.

Κυβερνήσαντες Ἅγιοι,
πρὸς τὸν λιμένα τῆς σωτηρίας,
τὰς ψυχὰς ὑμῶν ἐν Πνεύματι,
ζάλην διεφύγετε,
εἰδωλομανίας, Μακάριοι.

Ἀπερίτρεπτοι ὤφθητε,
ἐν τῷ ἀγῶνι τοῦ μαρτυρίου,
ἀκατάσειστοι, ἀπτόητοι,
διωκτῶν τὴν ἔνστασιν,
τῇ ἐνθέῳ πίστει νικήσαντες.

Θεοτοκίον

Λυτρωθέντες τῷ τόκῳ σου, Εὐλογημένη,
τῆς πρὶν κατάρας,
εὐλογίαν ἀπειλήφαμεν,
καὶ ζωὴν καὶ λύτρωσιν,
οἱ σὲ Θεοτόκον δοξάζοντες.

*Τοῦ Μάρτυρος. Σύ μου ἰσχύς, Κύριε.*

Γνοὺς Ἰησοῦν Κύριον,
πάσης τῆς κτίσεως,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῶν εἰδώλων, μάρτυς, κατεφρόνησας,
βασιλικὴν ζώνην ἀρνηθείς,
πυρωθεὶς δὲ ζήλῳ,
πικρῶν μαστίγων μετέσχηκας,
μιμούμενος ἐν πᾶσι,
τὸν δεινῶς μαστιχθέντα,
δι' ἡμᾶς ἐν τῷ πάθει, Μυγδόνιε.

Δόξα ἐμοὶ πέφυκεν,
ἔφης, Μυγδόνιε,
τοῦ Δεσπότου, ὁ σταυρὸς καὶ μάθετε,
εἰδωλικῆς πλάνης φροντισταί,
ὅτι ὑπὲρ τούτου
προθύμως ἔχω τοῦ θνήξασθαι,
καὶ γάρ με μετὰ ταῦτα,
ἀναμένει ἡ δόξα,
ἧς μετέχουσι πάντες οἱ μάρτυρες.

Ὅσα ἐν νῷ ἔχετε,
πράττετε ἄνθρωποι,
ἐγὼ πίστιν, τοῦ Χριστοῦ θεόσδοτον,
διακρατῶ ὥσπερ θησαυρόν,
αἵματι Δεσπότου,
κεκυρωμένον ἀσύλητον·
διὸ τὴν τῶν εἰδώλων,
ψυχοφθόρον λατρείαν,
καταπτύω ἐβόας, Μυγδόνιε.

Θεοτοκίον

Νοῦν καὶ ψυχήν, Δέσποινα,
σπήλαια ποίησον,
τοῦ Υἱοῦ σου, Ὃν σαρκὶ ἐγέννησας,
Δημιουργὸν ὄντα καί Θεόν,
καὶ τὴν πεπτωκυῖαν,
φύσιν ἀνθρώπων θεώσαντα,

ἄκρᾳ συγκαταβάσει,
καὶ ἀπείρῳ ἀγάπῃ,
ᾗ κρατεῖ καὶ διέπει τὰ σύμπαντα.

Καταβασία. Ῥάβδος ἐκ τῆς ῥίζης.

Ὠιδὴ ε΄.

Θεὸς ὢν εἰρήνης,
Πατὴρ οἰκτιρμῶν,
τῆς μεγάλης Βουλῆς σου τὸν Ἄγγελον,
εἰρήνην παρεχόμενον ἀπέστειλας ἡμῖν·
ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες,
ἐκ νυκτὸς ὀρθρίζοντες,
δοξολογοῦμεν σε Φιλάνθρωπε
.
Ἐν δούλοις τῷ Καίσαρος δόγματι,
ἀπεγράφης πειθήσας,
καὶ δούλους ἡμᾶς, ἐχθροῦ καὶ ἁμαρτίας,
ἠλευθέρωσας Χριστέ,
ὅλον τὸ καθ ἡμᾶς δὲ πτωχεύσας,
καὶ χοϊκὸν ἐξ αὐτῆς ἑνώσεως,
καὶ κοινωνίας ἐθεούργησας.

Ἰδοὺ ἡ Παρθένος,
ὡς πάλαι φησίν,
ἐν γαστρὶ συλλαβοῦσα ἐκύησε,
Θεὸν ἐνανθρωπήσαντα, καὶ μένει Παρθένος·
δι ἧς καταλλαγέντες Θεῷ οἱ ἁμαρτωλοί,
Θεοτόκον κυρίως οὖσαν,
ἐν πίστει ἀνυμνήσωμεν.

Τῶν Μαρτύρων Τὸ φαεινὸν ἡμῖν ἐξανάτειλον.

Λαμπροφανῶς ἡ μνήμη ἐπέλαμψε
τῶν Ἀθλοφόρων σου, καὶ ἐφώτισε



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῆς γῆς τὰ πέρατα,
ταῖς τῶν θαυμάτων, θείαις διαδόσεσι,
Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ἱερουργοὶ θυσίαν προσάγοντες,
θύματα τέλεια,
προσηνέχθησαν ὁλοκαυτούμενοι,
σὺν πᾶσιν ἄλλοις, πλείοσι συμμάρτυσι,
Χριστὸν μεγαλύνοντες.

Ναοὶ Θεοῦ ὑπάρχοντες Ἅγιοι,
διὰ βαπτίσματος, τέλος ἅγιον ὁμοῦ ἐδέξασθε,
ἐν οἴκῳ θείῳ καὶ πρὸς ἐπουράνιον,
ναὸν ἀνηνέχθητε.

Θεοτοκίον

Ἵνα Θεὸς τοῖς ἄνω συνάψειε,
τοὺς ὀλισθήσαντας, παραβάσεως εἰς μέγα βάραθρον,
τὴν σὴν γαστέρα ᾤκησε Πανάχραντε,
καὶ σὰρξ ἐχρημάτισε.
*τοῦ Μάρτυρος. Ἵνα τί με ἀπώσω.*

Ἱεράρχαις τιμίοις,
τῆς τοῦ Νικομήδους πάντες ὑπηκούσατε,
ὡς ποιμέσιν ἄρνες,
σὺν λοιποῖς ἀθληταῖς, ὦ Μυγδόνιε,
καὶ ἀπαρνηθέντες,
πᾶσαν ἀπόλαυσιν τοῦ βίου,
ἐν χαρᾷ μαρτυρίῳ προσήλθετε.
Ἐλευθέρᾳ τῇ γνώμῃ,
ἔξω τῆς συγκλήτου σεαυτὸν ἐποίησας,
δόξαν οὐρανίαν,
ἀναμένων, τρισμάκαρ Μυγδόνιε,
ἥτις οὐδαμόθεν,
κίνδυνον ἔχει σαλευθῆναι,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀλλὰ μένει ἀεὶ ἀκατάβλητος.

Μέθην ἔχων Κυρίου,
πάντιμε Μυγδόνιε, οὐχ ὑπελόγισας,
τὰς πικρὰς βασάνους,
καὶ ὁδὸν μαρτυρίου ἐβάδισας,
ὥσπερ τις εἰς δεῖπνον,
βασιλικὸν ποθῶν συντρέχει,
ἐπὶ πίστει Δεσπότου ὁράσεως.

Θεοτοκίον

Ἡ Παρθένος πῶς μήτηρ,
γέγονας καὶ πάλιν ἄφθαρτος μεμένηκαςκ
πῶς τὸν Βασιλέα,
τῶν ἁπάντων ὡς βρέφος τεθήλακαςκ
πῶς οὐ κατεφλέχθης,
καὶ Πῦρ ἐκράτησας ἀγκάλαις,
ὑπερβᾶσα τοὺς ὅρους τῆς φύσεωςκ

*Καταβασία. Θεὸς ὢν εἰρήνης.*

*Ὠιδὴ Ϛ'.*

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν
ἐνάλιος θήρ, οἷον ἐδέξατο·
τῇ Παρθένῳ δέ,
ἐνοικήσας ὁ Λόγος, καὶ σάρκα λαβών,
διελήλυθε φυλάξας ἀδιάφθορον·
ἧς γὰρ οὐχ ὑπέστη ῥεύσεως,
τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Ἦλθε σαρκωθείς, Χριστὸς ὁ Θεὸς ἡμῶν,
γαστρὸς ὃν Πατήρ, πρὸ Ἑωσφόρου γεννᾷ·
τὰς ἡνίας δέ,
ὁ κρατῶν τῶν ἀχράντων Δυνάμεων,

ἐν φάτνῃ τῶν ἀλόγων ἀνακλίνεται,
ῥάκει σπαργανοῦται, λύει δέ,
πολυπλόκους σειρὰς παραπτώσεων.

Νέον ἐξ Ἀδάμ, παιδίον φυράματος
ἐτέχθη Υἱός, καὶ πιστοῖς δέδοται·
τοῦ δὲ μέλλοντος, οὗτός ἐστιν αἰῶνος, Πατὴρ καὶ Ἄρχων,
καὶ καλεῖται τῆς μεγάλης Βουλῆς Ἄγγελος·
οὗτος ἰσχυρὸς Θεός ἐστι,
καὶ κρατῶν ἐξουσία τῆς κτίσεως.

*Τῶν Μαρτύρων. Τὸν προφήτην Ἰωνᾶν.*

Κορυφαῖος ἱεροῦ, ἐχρημάτισας λαοῦ,
καὶ προέπεμψας αὐτόν, ἐν χαρᾷ πρὸς οὐρανόν,
ἀθλήσαντα, ἱερομάρτυς,
Ἄνθιμε ὅσιε.

Ὡς χρυσίον καθαρόν, ἀνάμεσον τοῦ πυρός,
ἡ εὐσέβεια ὑμῶν, Ἀθληταὶ τοῦ Ἰησοῦ,
ἐγνώρισται, ἡλίου πλέον
ἐναπαστράπτουσα.

Νεκρωθέντες τῇ σαρκί, τὴν ζωὴν τὴν ἀληθῆ,
ἐκληρώσασθε σοφοί, συνυπάρχοντες Χριστῷ,
τῷ δείξαντι, δυνατωτέρους,
ὑμᾶς κολάσεων.

Θεοτοκίον
Μετὰ τόκον ἀληθῶς, ὡς πρὸ τόκου Μαριάμ,
τῇ δυνάμει τοῦ ἐκ σοῦ, σαρκωθέντος, Ἰησοῦ,
διέμεινας, παρθένος, ὄντως!
θαῦμα παράδοξον.

*Τοῦ Μάρτυρος. Ἱλάσθητί μοι,Σωτήρ.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Κρατήσας θεοπρεπῶς,
ὁμολογίαν τῆς πίστεως,
τὸν Κύριον Ἰησοῦν,
Θεὸν ἀνεκήρυξας,
πάνσοφε Μυγδόνιε,
Πνεύματος ἁγίου,
μυστικῶς ἐνδυναμοῦντός σε.

Ἀσάλευτος ἐν ποιναῖς,
ἀναδειχθείς, ὦ Μυγδόνιε,
κατέβαλες τοῦ ἐχθροῦ,
τὴν ἄθεον ὕψωσιν,
καὶ τὸν βόθρον εὕρηκας,
ὄργανον δι᾽ οὗπερ
τῷ Χριστῷ ἡνώθης ἀῤῥηκτα.

Τιμήν σου ὑπερφυᾶ,
τὴν ἀτιμίαν ὑπείληφας,
τὸ πάσχειν ὑπὲρ Χριστοῦ,
εἶχες θείαν δόξαν σου,
τὸν πικρὸν δὲ θάνατον,
πρόξενον ζωῆς σοι,
παμμακάριστε Μυγδόνιε.

Θεοτοκίον

Ἀγγέλων θείας ᾠδάς,
ἐν τῇ Γεννήσει ἀκούσασα,
Παρθένε, καὶ ἐξ ἡμῶν,
δέχου τὴν εὐγνώμονα,
αἴνεσιν τὴν πάγχειλον,
διὰ πάντα ὅσα,
μέσον σοῦ ἀπολαμβάνομεν.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.*

Τὸν Χριστὸν μιμούμενος, ἐν τῷ Σπηλαίῳ τεχθέντα,
ἀθλητὰ Μυγδόνιε, περιεκλείσθης ἐν βόθρῳ,
οὕτω γάρ, ἀπεξεδύθης νεκρὸν χιτῶνα,
ἔνδυμα, τῆς ἀφθαρσίας φορέσας θεῖον·
ὅθεν, Μάρτυς, μὴ ἐλλίπης,
ἀεὶ πρεσβεύειν,
ὑπὲρ τῶν τιμώντων σε.

***ὁ Οἶκος***

Τῇ ἀγάπῃ Χριστοῦ καταπέφλεξαι ὅλως, ἅγιε,
ἡδονὰς κοσμικὰς πάσας ἤρνησαι ὡς φιλόθεος,
προτιμήσας θανεῖν αὐτοβούλως.
Καὶ γὰρ τὴν ζώνην τοῦ συγκλητικοῦ ἀποῤῥίψας,
ἐμαστίχθης ἀνηλεῶς ὡς πέτρα ἄσειστος,
ἀγγελικὰς δυνάμεις καταπλήξας,
τῇ κραταιᾷ ὑπομονῇ
ἣν ἀνδρικῶς καθυπέδειξας.
Ὅθεν ἐν βόθρῳ ζῶν, Μυγδόνιε, ταφείς,
μετὰ τῶν συνάθλων σου Δισμυρίων
μὴ διαλίπῃς ἀεὶ πρεσβεύειν,
ὑπὲρ τῶν τιμώντων σε.

***Συναξάριον***

**Τῇ ΚΗ΄ τοῦ αὐτοῦ μηνός Δεκεμβρίου, Μνήμη τῶν Ἁγίων ἐνδόξων καὶ καλλινίκων Δισμυρίων Μαρτύρων, τῶν ἐν Νικομηδείᾳ καέντων.**

Στίχοι.

*Ὡς προσφοραί σοι, Σῶτερ, ἐξωπτημέναι,*
*Οἱ Δισμύριοι τοῦ νεὼ κεῖνται μέσον.*

*Ἀνέρας ὀγδοάτῃ κτάνεν εἰκάδι Δισμυρίους πῦρ.*

**Ὁ ἅγιος Μυγδόνιος, τὴν συγκλητικὴν ἀξίαν ἀρνησάμενος, σφόδρα μαστιχθεὶς καὶ ζῶν ἐν βόθρῳ χωσθείς, τελειοῦται.**

Στίχοι.

*Κἂν χωννύηται Μυγδόνιος ἐν βόθρῳ,*
*Ἐγνωσμένος τοῖς πᾶσι Μάρτυς τυγχάνει.*

**Ὁ ἅγιος Ἴνδης, ἐν τῇ θαλάσσῃ βληθείς, τελειοῦται.**

Στίχοι.

*Ἴνδην ἀκούω τοῦ βίου λαβεῖν πέρας,*
*Ἄκρον καταντήσαντα πρὸς βυθοῦ πέρας.*

**Οἱ ἅγιοι Γοργόνιος καὶ Πέτρος ἐν τῇ θαλάσσῃ τελειοῦνται.**

Στίχοι.

*Πόντος καλύπτει Γοργόνιον καὶ Πέτρον,*
*Μνήμη δὲ τούτων οὐ καλύπτεται χρόνῳ.*

**Ὁ ἅγιος μάρτυς Ζήνων ξίφει τελειοῦται.**

Στίχοι.

*Ζήνων κεφαλὴν τέμνεται διὰ ξίφους,*
*Μὴ προσκυνεῖν ἄγαλμα τοῦ Ζηνὸς θέλων.*

**Ὁ ἅγιος μάρτυς Μαρδόνιος πυρὶ τελειοῦται.**

Στίχοι.

*Καὶ Μαρδόνιον Μαρτύρων ἔγνων ἕνα,*
*Στέργοντα Χριστόν, καὶ στέργοντα πῦρ φλέγον.*

**Ὁ ἅγιος Δωρόθεος, ὁ πραιπόσιτος, ξίφει τελειοῦται.**

Στίχοι.

*Ὁ Δωρόθεος, τὴν κεφαλήν μου, λέγει,*
*Δῶρον κομίζω τῷ Θεῷ τετμημένην.*

**Ὁ ἅγιος Θεόφιλος ὁ διάκονος λιθοβοληθεὶς τελειοῦται.**

Στίχοι.

*Ἀπόγραφε βληθέντα συχνοῖς τοῖς λίθοις,*
*Καὶ Θεόφιλον συλλόγῳ Θεοῦ φίλων.*

**Ὁ ἅγιος Γλυκέριος, ὁ πρεσβύτερος, πυρὶ τελειοῦται.**

Στίχοι.

*Ὁ Γλυκέριος, εἰς τὸ πῦρ βεβλημένος,*
*Ἔφη· Γλυκὺς μοι τῆς τελευτῆς ὁ τρόπος.*

**Τῇ αὐτῇ ἡμέρᾳ, ἡ ἁγία παρθένος Δόμνα, ξίφει τμηθεῖσα καὶ τῷ πυρὶ ῥιφεῖσα τελειοῦται.**

Στίχοι.

*Ἕκτην συνάπτω ταῖς φρονίμοις Παρθένοις,*
*Τὴν ψευδόμωρον Δόμναν ἐκτετμημένην.*

**Ὁ ἅγιος μάρτυς Σεκοῦνδος, ξίφει τελειοῦται.**

Στίχοι.

*Χάριν ἔχω ξίφει, ὁ Σεκοῦνδος ἔφη*
*Ἀπενεγκόντι με εἰς Ἐδὲμ τὴν δόξαν.*

**Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἁγίου μάρτυρος Πλουτοδώρου.**

Στίχοι.

*Δῶρον δοὺς Χριστῷ μαρτύριον λαμβάνεις,*
*Ἀντίδωρον, Πλουτόδωρε, Βασιλείαν.*

**Ὁ ὅσιος πατὴρ ἡμῶν Βαβύλας ὁ ἐκ Ταρσοῦ τῆς Κιλικίας, ἐν εἰρήνῃ τελειοῦται.**

Στίχοι

*Βατός σοι ἔφυ παράδεισος, Βαβύλα,*
*Βάρος σαρκός σου φυγόντι ἐν ἀσκήσει.*

**Ὁ ὅσιος καὶ θεοφόρος πατὴρ ἡμῶν Σίμων ὁ Μυροβλύτης, ὁ κτίτωρ τῆς ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος Ἱερᾶς Μονῆς Σίμωνος Πέτρας, ἐν εἰρήνῃ τελειοῦται.**

Στίχοι.

*Πρὸς Πέτρον ἔσχε κοινὰ κλῆσιν καὶ πέτραν,*
*Ὑπερτερεῖ μύρῳ δ᾽ ὁ τῆς Πέτρας Σίμων.*

**Ὁ ὅσιος πατὴρ ἡμῶν Ἰγνάτιος ὁ ἐν Λόμᾳ τῆς Ρωσίας ἀσκήσας, ἐν εἰρήνῃ τελειοῦται**



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Στίχοι.

*Σαρκὸς ὀρέξεις δεσμεύσας ἐν ἁλύσει,*
*Ἐν Χριστῷ, Ἰγνάτιε, ἠλευθερώθης.*

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ'.

Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες,
δυσσεβοῦς προστάγματος καταφρονήσαντες,
πυρὸς ἀπειλὴν οὐκ ἐκπτοήθησαν·
ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον·
Ὁ τῶν Πατέρων Θεός, εὐλογητὸς εἶ.

Ποιμένες ἀγραυλοῦντες,
ἐκπλαγοῦς φωτοφανείας ἔτυχον·
δόξα Κυρίου γὰρ αὐτούς,
περιέλαμψε καὶ Ἄγγελος,
Ἀνυμνήσατε βοῶν,
ὅτι ἐτέχθη Χριστός,
ὁ τῶν Πατέρων Θεός, εὐλογητὸς εἶ.

Ἐξαίφνης σὺν τῷ λόγῳ τοῦ Ἀγγέλου,
οὐρανῶν στρατεύματα,
Δόξα ἐκραύγαζον Θεῷ, ἐν ὑψίστοις,
ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία,
Χριστὸς ἔλαμψεν·
Ὁ τῶν Πατέρων Θεός, εὐλογητὸς εἶ.

Ῥῆμα τί τοῦτο; εἶπον οἱ Ποιμένες·
διελθόντες ἴδωμεν τὸ γεγονός,
θεῖον Χριστόν·
Βηθλεὲμ καταλαβόντες δέ,
σὺν τῇ τεκούσῃ προσεκύνουν ἀναμέλποντες·
Ὁ τῶν Πατέρων Θεός, εὐλογητὸς εἶ.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Τῶν Μαρτύρων. Τοὺς ἐν καμίνῳ Παῖδάς σου, Σωτήρ.*

Ἀποσκοποῦντες μόνα τὰ ἐκεῖ,
μακάριοι μένοντα,
δυνάμει θεϊκῇ,
ὥσπερ οἱ τρεῖς ἐν Βαβυλῶνι θεῖοι Παῖδες,
τοῦ πυρὸς ἀνώτεροι,
ὤφθητε θείῳ φωτὶ καταλαμπόμενοι.

Ῥῆμα τυράννου ἄλογον σοφοί,
φαυλίσαντες, σὺν ἱερωτάταις γυναιξί,
καὶ κομιδῇ ὡς ἀληθῶς,
θείοις νηπίοις, προσφοραὶ ὁλόκληροι,
τῷ Βασιλεῖ τοῦ παντὸς προσανηνέχθητε.

Τὸν φωτισμὸν τῆς γνώσεως Χριστοῦ,
προσφέροντες ἔνδον ἐν ψυχῇ πανευλαβῶς,
τὸ σκοτεινὸν τῆς ἀθεΐας νέφος ὄντως,
Ἀθληταὶ διήλθετε,
καὶ εἰς αἰώνιον φῶς μετεβιβάσθητε.

Θεοτοκίον

Ὑψηλοτέρα ὤφθης οὐρανῶν κυήσασα,
πάντων τὸν Δεσπότην καὶ Θεόν·
ὃν ἐκτενῶς, καθικετεύουσα μὴ παύσῃ,
Παναγία ἄχραντε, σῶσαι,
τοὺς πίστει θερμῇ δοξολογοῦντάς σε.

*Τοῦ Μάρτυρος. Παῖδες ἑβραίων.*

Πόλεως πέφυκα πολίτης,
ἣν ἐδόμησε Χριστὸς ὁ παντεχνήμων,
καὶ ποθῶ ἐκ ψυχῆς,
ταύτην κληρονομῆσαι,
μαρτυρικοῖς παλαίσμασιν,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ὁ Μυγδόνιος ἐβόα.

Ὅστις γλυκύτητα ἐγεύθη,
τοῦ Κυρίου μου λογίζεται πικρίαν,
ἡδονὰς τῆς σαρκός,
καὶ ἀγαθὰ τοῦ κόσμου,
Μυγδόνιος ἀνέκραζε,
ὑπηρέταις τῶν εἰδώλων.

Νέον Παιδίον ἀπετέχθη,
ἐκ Μητρὸς ἁγνῆς Θεὸς ὁ πρὸ αἰώνων,
ὁ τὸ γένος ἡμῶν,
ῥυσάμενος ἐκ σκότους,
Αὐτῷ φησι Μυγδόνιος,
τὴν προσκύνησιν προσφέρω.

Θεοτοκίον

Τί τὸ μυστήριον, Παρθένε,
τῆς λοχείας σου τῆς πάνυ ἀνεκφράστου!
πῶς Θεὸς ἐν σαρκί,
ἐτέχθη ἐκ γαστρός σου,
καὶ θρόνον οὐ κατέλιπε,
συμμιγεὶς ἡμῶν τῷ γένει.

*Καταβασία. Οἱ Παῖδες εὐσεβείᾳ.*

*Ὠιδὴ η΄.*

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος,
ἐξεικόνισε κάμινος τύπον·
οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους,
ὡς οὐδὲ πῦρ τῆς θεότητος,
Παρθένου ἣν ὑπέδυ νηδύν·
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον,
καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἕλκει Βαβυλῶνος ἡ θυγάτηρ παῖδας,
δορυκτήτους Δαυῒδ, ἐκ Σιών·
ἐν αὐτῇ, δωροφόρους πέμπει δέ,
Μάγους παῖδας,
τὴν τοῦ Δαυῒδ θεοδόχον Θυγατέρα λιτανεύσοντας·
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον,
καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ὄργανα παρέκλινε τὸ πένθος ᾠδῆς·
οὐ γὰρ ᾖδον ἐν νόθοις οἱ παῖδες Σιών.
Βαβυλῶνος λύει δέ,
πλάνην πᾶσαν καὶ μουσικῶν,
ἁρμονίαν Βηθλεὲμ ἐξανατείλας Χριστός·
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον,
καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Σκῦλα Βαβυλὼν τῆς βασιλίδος Σιών,
καὶ δορύκτητον ὄλβον ἐδέξατο·
θησαυροὺς Χριστός, ἐν Σιὼν δὲ ταύτης,
καὶ βασιλεῖς σὺν ἀστέρι ὁδηγῷ,
ἀστροπολοῦντας ἕλκει·
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
Εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον,
καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

*Τῶν Μαρτύρων. Τὸν τοὺς ὑμνολόγους ἐν καμίνῳ.*

Ῥέουσιν ἐνθέου εὐωδίας,
ἰαμάτων τὰ μύρα,
Μαρτύρων τὰ λείψανα,
καὶ παθῶν δυσωδίαν ξηραίνουσι,
τῶν πίστει ἀνυμνολογούντων,
Χριστὸν εἰς τοὺς αἰῶνας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὤφθητε ὡς ῥόδα Ἀθλοφόροι,
ὡραιότατα μέσον, περιχεόμενοι τοῦ πυρός,
καὶ προθύμως ἐκράζετε·
Ὑμνεῖτε καὶ ὑπερυψοῦτε,
Χριστὸν εἰς τοὺς αἰῶνας.

Νεανίσκοι ἅμα καὶ παρθένοι,
καὶ πρεσβῦται καὶ νέοι,
ἅγια νήπια,
γυναικῶν τε πληθὺς ἀναρίθμητος,
τῆς ἄνω ἔτυχον χορείας,
ὁμοῦ ἐνηθληκότες.

Θεοτοκίον

Ἰεζεκιὴλ σε πύλην βλέπει,
κεκλεισμένην Παρθένε,
δι᾽ ἧς διώδευσεν, Ἰησοῦς,
ὁ σκηνώσας ἐν μήτρᾳ σου,
καὶ σάρκα ἐκ τῶν σῶν αἱμάτων,
φορέσας ἀσυγχύτως.

*Τοῦ Μάρτυρος. Ἑπταπλασίως κάμινον.*

Ἱερωτάτη πέφυκεν,
ὁλοκαύτωσις, ἅγιε,
ἡ ὁμολογία καὶ ἡ μαρτυρία σου,
δι᾽ ὧν κατενώπιον,
τῶν τυραννούντων ἔδειξας,
τὴν τοῦ Θεανθρώπου ὑπερβάλλουσαν δόξαν,
Μυγδόνιε, καὶ πλάνην,
τῶν εἰδώλων ἐλέγξας,
ἀθλήσεως τὸ στέφος,
ἀπείληφας δικαίως.

Συγκλητικοῦ ἀπέῤῥιψας,

ἀπολαύσεις, Μυγδόνιε,
πάντα θεωρήσας τὰ φθαρτὰ ὡς σκύβαλα,
τῷ Παύλῳ ἑπόμενος,
τῷ ἀποστόλῳ λέγοντι·
τίς ἡμᾶς χωρίσει τῆς ἀγάπης Κυρίουκ
οὐ βάθος οὔτε ὕψος,
οὐ λιμὸς ἢ γυμνότης,
ἢ κτίσις τις ἑτέρα,
οὐ θάνατος φρικώδης.

Θεολογῶν, Μυγδόνιε,
τοῦ Χριστοῦ ἐνανθρώπησιν,
μετὰ παῤῥησίας τοὺς ἀθέους ἤλεγξας,
ἀψύχοις προσφέροντας,
λατρείαν τὴν ἀνήκουσαν,
τῷ Θεῷ τῶν ὅλων,
Ὧι παρέστης ἐν δόξῃ,
καὶ Ὧι ὡς πανευῶδες,
προσενήνοχας μύρον,
τὸ τίμιόν σου αἷμα,
γενναίως ἐναθλήσας.

Θεοτοκίον

Ἐπὶ τῆς γῆς σεσάρκωται,
Θεὸς Λόγος, Πανάμωμε,
ἵνα ἀναγάγῃ,
πάλιν εἰς τὸ πρότερον,
ἀξίωμα ἄνθρωπον,
καὶ βασιλείας μέτοχον,
τοῦτον ἀναδείξῃ, δι᾽ ὃν λόγον ἐπλάσθη,
ὅθεν σε ἀνυμνοῦμεν,
καὶ βοῶμεν ἀπαύστως·
χαῖρε σκηνὴ ἁγία,
Χριστοῦ τοῦ γλυκυτάτου.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Καταβασία. Θαύματος ὑπερφυοῦς.*

*Ὠιδὴ θ΄.*

*Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.*

Μυστήριον ξένον,
ὁρῶ καὶ παράδοξον!
οὐρανὸν τὸ Σπήλαιον·
θρόνον Χερουβικόν, τὴν Παρθένον·
τὴν φάτνην χωρίον,
ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος,
Χριστὸς ὁ Θεός,
ὃν ἀνυμνοῦντες μεγαλύνομεν

*Μεγάλυνον ψυχή μου, τὸν ἐκ τῆς Παρθένου, Θεὸν σαρκὶ τεχθέντα.*

Ἐξαίσιον δρόμον,
ὁρῶντες οἱ Μάγοι,
ἀσυνήθους νέου ἀστέρος ἀρτιφαοῦς,
οὐρανίου ὑπερλάμποντος,
Χριστὸν Βασιλέα ἐτεκμήραντο,
ἐν γῇ γεννηθέντα Βηθλεέμ,
εἰς σωτηρίαν ἡμῶν.
*Μεγάλυνον ψυχή μου, τὸν ἐν τῷ Σπηλαίῳ, τεχθέντα Βασιλέα.*

Νεηγενὲς Μάγων λεγόντων,
παιδίον Ἄναξ, οὗ ἀστὴρ ἐφάνη, ποῦ ἐστιν;
εἰς γὰρ ἐκείνου προσκύνησιν ἥκομεν·
μανεὶς ὁ Ἡρώδης ἐταράττετο,
Χριστὸν ἀνελεῖν,
ὁ θεομάχος φρυαττόμενος.

*Μεγάλυνον ψυχή μου, τῶν ὑπὸ τῶν Μάγων, Θεὸν προσκυνηθέντα.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἠκρίβωσε χρόνον Ἡρώδης ἀστέρος,
οὗ ταῖς ἡγεσίαις οἱ Μάγοι ἐν Βηθλεέμ,
προσκυνοῦσι Χριστῷ σὺν δώροις,
ὑφ' οὗ πρὸς πατρίδα ὁδηγούμενοι,
δεινὸν παιδοκτόνον,
ἐγκατέλιπον παιζόμενον.

*Τῶν Μαρτύρων. Τὴν φωτοφόρον νεφέλην.*

Ὡς ἐθελόθυτοι ἄρνες,
ὡλοκαυτώθητε ἅμα,
καὶ ὡς θυσία καθαρά,
τῷ τυθέντι Δεσπότῃ,
ὑπὲρ ἡμῶν τῶν γηγενῶν,
καλλίνικοι Μάρτυρες, προσήχθητε,
καὶ στεφάνους τῆς νίκης,
ἐπαξίως, ἐκομίσασθε ὁμοῦ.

Σὺν τοῖς Ἁγίοις Προφήταις,
σὺν τοῖς σεπτοῖς Ἀποστόλοις,
σὺν τοῖς χοροῖς τῶν ἐκλεκτῶν,
καὶ ἁγίοις Ἀγγέλοις,
πληθὺς Μαρτύρων εὐκλεῶν,
Κυρίου δεήθητε, τοῦ σῴζεσθαι,
πειρασμῶν καὶ κινδύνων,
τοὺς ἐν πίστει, μακαρίζοντας ὑμᾶς.

Ἡλιακῶν λαμπηδόνων,
ἡ ἱερὰ ὑμῶν μνήμη,
πλέον ἐκλάμπει, Ἀθληταί,
τῶν δαιμόνων τὸ σκότος,
ἀποδιώκουσα ἀεί,
καὶ πάντας φωτίζουσα, πανεύφημοι,
τοὺς ἐν πίστει καὶ πόθῳ,
κατὰ χρέος μακαρίζοντας ὑμᾶς.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

### Θεοτοκίον

Φῶς ἡ τεκοῦσα τὸ θεῖον,
τὸ ἐκ Πατρὸς ἀναλάμψαν,
τὴν σκοτισθεῖσάν μου ψυχήν,
ταῖς ἀπάταις τοῦ βίου,
καὶ γεγονυῖαν τῶν ἐχθρῶν,
Πανάμωμε, παίγνιον οἰκτείρησον,
καὶ φωτὶ μετανοίας,
σωτηρίου καταξίωσον Ἁγνή.

*Τοῦ Μάρτυρος. Ἐξέστη ἐπὶ τούτῳ.*

Ἱλέωσαι τὸν Κύριον εὐμενῶς,
ὦ Μυγδόνιε, πᾶσι τοῖς μέλπουσιν ἄθλους τοὺς σούς,
ὅπως συγχωρήσῃ τὸν ὁρμαθόν,
πταισμάτων ἅπερ πράττομεν, εἴτε ἀκουσίως ἢ ἑκοντί,
καὶ δείξῃ συμμετόχους, δόξης τῆς αἰωνίου,
ἧς νῦν τρυφᾷς σὺ δικαιότατα.
Ἡ ἄθλησίς σου γέγονε τοῖς πιστοῖς,
ἀφορμὴ εὐωχίας, Μυγδόνιε, εὐφραντικῆς,
καὶ διδασκαλεῖον πνευματικόν,
δι᾽ ἧς διδάσκεις πάντοτε,
πῶς δεῖ φαινομένων ὑπερτιμᾶν,
τὸν Κύριον τῆς δόξης, καὶ Τούτῳ εἴπερ δέοι,
θύειν προθύμως τὴν ζωὴν ἡμῶν.

Νενίκηκας, Μυγδόνιε ἀθλητά,
σατανᾶν καὶ τοῦ κόσμου τὰ εἴδωλα θεοπρεπῶς,
ὅθεν παριστάμενος τῷ Χριστῷ,
ὑπὲρ ἡμῶν ἱκέτευε,
καταπαλαιόντων πρὸς τὰς ὁρμάς,
ἐχθροῦ τοῦ ἀντιδίκου,
ἵνα αὐτὸν νικῶντες,
τῆς σωτηρίας ἐπιτύχωμεν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Θεοτοκίον

Ἀσπίλως ἀπεκύησας τὸν Θεόν,
καὶ ἐν φάτνῃ Αὐτὸν ἐσπαργάνωσας μητροπρεπῶς,
ὅθεν παῤῥησίαν σου μητρικήν,
ἔχοντες ὡς ἐφόδιον,
σὲ καθικετεύομεν Ἀγαθή,
πολλῶν ἁμαρτημάτων,
συγχώρησιν ἐξαίτει,
καὶ βασιλείαν ἡμῖν χάρισαι.

*Καταβασία. Μεγάλυνον. Μυστήριον ξένον.*

*Ἐξαποστειλάριον. Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.*

Πληθὺς Μαρτύρων πάντιμε,
καὶ φάλαγξ θεοσύλλεκτε,
τῶν Δισμυρίων ἁγίων,
τὸν ἐκ Παρθένου τεχθέντα,
Θεὸν ἐκδυσωπήσατε,
ῥυσθῆναι πάσης θλίψεως,
τοὺς νῦν ὑμᾶς γεραίροντας,
καὶ τὴν λαμπρὰν ἐκτελοῦντας,
καὶ πάμφωτον ὑμῶν μνήμην.

*τοῦ Μάρτυρος, ὅμοιον*

Ἀθλητικῶς ἠγώνισαι,
Μυγδόνιε μακάριε,
πᾶσαν ἐπίγειον δόξαν,
ἀπαρνηθεὶς ἐκ ψυχῆς σου·
καὶ τῶν μαστίγων εἴληφας,
ὀδύνην γενναιότατα,
ἐν βόθρῳ εἶτα ἐβλήθης,
καταχωσθεὶς ὑπ’ ἀνόμων,
διὸ Χριστὸς ἔστεψέ σε.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*τῆς Ἑορτῆς, ὅμοιον.*

Εἰκόνος ἧς μετέλαβον,
θεουργικῶς τῆς κρείττονος,
ἐξώσθην οἴμοι ὁ τλήμων!
δι᾽ ἀκρασίας τῆς πάλαι·
σὺ δέ, Χριστέ, ὡς εὔσπλαγχνος,
ἀῤῥήτως κοινωνήσας μοι,
τοῦ χείρονος μετείληφας,
καινοποιήσας Σωτήρ με,
Παρθενικῶν ἐξ αἱμάτων.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

*Στιχηρὰ προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.*

Τῆς οἰκείας χρηστότητος,
ὁ Δεσπότης βουλόμενος,
τοῖς ἀνθρώποις πλοῦτόν σου ὁ φιλάνθρωπος,
καθυποδεῖξαι τὸ φύραμα,
τὸ τούτων ἀνέλαβες,
καὶ ἐτέχθης ἐν σαρκί·
καὶ τὸ Σπήλαιον ᾤκησας,
ἵνα ἅπαντας,
οὐρανίους ποιήσῃς ἀνυψώσας,
τοὺς αἰνοῦντας καὶ ὑμνοῦντας,
τὴν σὴν ἀνέκφραστον Γέννησιν.

Τῇ δυνάμει νευρούμενοι,
καὶ στεῤῥῶς κρατυνόμενοι,
καὶ ἐνισχυόμενοι τοῦ Παντάνακτος,
ἐν ἀσθενείᾳ τῆς φύσεως,
ἀήττητοι Μάρτυρες,
τὸν ἀρχέκακον ἐχθρόν,
κραταιῶς ἐνικήσατε,
καὶ πρεσβεύετε,

δωρηθῆναι τῷ κόσμῳ τὴν εἰρήνην,
καὶ πιστοῖς τὴν σωτηρίαν,
ὡς ἀντιλήπτορες μέγιστοι.

Ἐν τοῖς λόγοις Φιλόθεος,
καὶ ἐν ἔργοις Δωρόθεος,
καὶ θεῖος Μαρδόνιος, καὶ Γοργόνιος,
σὺν τῷ Σεκούνδῳ καὶ Πέτρῳ τε,
καὶ Ἴνδη ἠρίστευσαν,
καὶ ἐχθροῦ παρεμβολάς,
ἐτροπώσαντο χαίροντες,
καὶ πρεσβεύουσιν,
ἐκ παντοίων κινδύνων λυτρωθῆναι,
τοὺς ἐν πίστει ἐκτελοῦντας,
τὴν ἱερὰν αὐτῶν ἄθλησιν.

Εὐφημείσθω Μυγδόνιος,
Νικομήδους τὸ καύχημα,
ὁ συγκλήτου δόξαν ἀπαρνησάμενος,
καὶ πᾶσαν κόσμου ἀπόλαυσιν,
ποθῶν δόξαν ἄφθαρτον,
ἧς ἐπέτυχεν καλῶς,
ὑποστὰς μαστιγώσεων,
τὴν ἀτίμωσιν,
καὶ ταφεὶς ζῶν ἐν βόθρῳ ζῇ Κυρίῳ,
Ὧι ἀεὶ καθικετεύει,
ὑπὲρ ἡμῶν ὡς φιλάδελφος.

*Δόξα. Ἦχος πλ.α΄.*

Τοῦ σαρκωθέντος Λόγου τοῦ Θεοῦ,
τοῦ ἀληθοῦς Ποιμένος ἀρνία ἐγεγόνατε,
Δισμύριοι καλλίνικοι Μάρτυρες.
Καὶ οἱ μὲν τῷ θείῳ ἔρωτι πυρποληθέντες,
πῦρ τὸ ἀφανιζόμενον οὐκ ἐδειλιάσατε,
ὡς πανεύοσμον θυμίαμα ἐν τῷ ναῷ ἀναλωθέντες ὁμοῦ.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Οἱ δὲ ἐν πολυτρόποις βασάνοις ἀθλήσαντες,
τὸ ἄφθαρτον στέφος τῆς ζωῆς ἀπειλήφατε.
Ὅθεν τοὺς τιμῶντας τὴν πανσεβάσμιον ὑμῶν μνήμην,
σκέπετε φρουροῦντες ἐκ παντοίων πειρασμῶν, μακάριοι,
καὶ αἰτεῖσθε ἐκ Κυρίου τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος ὁ αὐτός.*

Μάγοι Περσῶν βασιλεῖς, ἐπιγνόντες σαφῶς,
τὸν ἐπὶ γῆς τεχθέντα Βασιλέα οὐράνιον,
ὑπὸ λαμπροῦ ἀστέρος ἑλκόμενοι, ἔφθασαν ἐν Βηθελεέμ,
δῶρα προσφέροντες ἔγκριτα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν,
καὶ πεσόντες προσεκύνησαν.
Εἶδον γὰρ ἐν τῷ σπηλαίῳ, βρέφος κείμενον τὸν Ἄχρονον.

Εἰς τὴν Θείαν Λειτουργίαν.

Ἀπόστολος καὶ Εὐαγγέλιον, τῆς Κυριακῆς τῶν Ἁγίων Πάντων.
Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι. Ἀλληλούϊα.

*Μεγαλυνάρια*

*τῶν ἁγίων Δισμυρίων*

Φάλαγξ τροπαιοῦχος ἀθλητική,
καὶ ἅγιος κλῆρος,
ὦ Δισμύριοι Ἀθληταί,
ἐκ παντὸς γένους,
καὶ πάσης ἡλικίας,
λαμπρῶς συγκροτηθέντες,
Θεῷ ἐδείχθητε.

*τοῦ ἁγίου Μυγδονίου*

Βόθρον ὡς ἀκάτιον ἐφευρών,
δι᾽ αὐτοῦ τοῦ βίου,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

διεπέρασας χαλεπόν,
κλύδωνα θεόφρον,
καὶ γέγονας πολίτης,
ἀκλύστου Βασιλείας,
μάρτυς Μυγδόνιε.

Νίκης τῆς ἀρίστης ἐπιτυχών,
ὁ τῆς Νικομήδους,
μάρτυς θεῖε καὶ ἀθλητά,
μνήσθητι τῶν ὅσοι,
τὴν μνήμην σου τελοῦσι,
καὶ προβαλλόντων πρέσβυν,
σὲ πρὸς τὸν Κύριον.

Φύλαττε, Μυγδόνιε θαυμαστέ,
πᾶσαν Μυγδονίαν,
ἀπὸ βλάβης τοῦ πονηροῦ,
καὶ ἀεὶ εὐλόγει,
ἐκδόσεις συνωνύμους,
εἰς δόξαν τοῦ Κυρίου,
τοῦ σὲ δοξάσαντος.

*Στίχοι*

Δισμύριοι Μάρτυρες, Χριστὸν αἰτεῖσθε,
Μυρίων ἡμᾶς κινδύνων λυτρωθῆναι.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ